θετῶν καὶ φιλοσόφων ‘ἀθρόᾳ φωνᾷ μέγ’ ἐπαινέοντες’ ὥσπερ ἔφη τὸν Πιττακὸν ὁ Ἀλκαῖος αἱρεῖσθαι τοὺς Μυτιληναίους τύραννον. Ἡμῖν δὲ βασιλεὺς καὶ ἄρχων καὶ ἁρμοστὴς ὁ Ἔρως ὑφ’ Ἡσιόδου καὶ Πλάτωνος καὶ Σόλωνος ἀπὸ τοῦ Ἑλικῶνος εἰς τὴν Ἀκαδημίαν ἐστεφανωμένος κατάγεται καὶ κεκοσμημένος εἰσελαύνει πολλαῖς F συνωρίσι φιλίας καὶ κοινωνίας, οὐχ οἵαν Εὐριπίδης (fr. 595) φησὶν ‘ἀχαλκεύτοισιν ἐζεῦχθαι πέδαις’, ψυχρὰν οὗτός γε καὶ βαρεῖαν ἐν χρείᾳ περιβαλὼν ὑπ’ αἰσχύνης ἀνάγκην, ἀλλ’ ὑποπτέρου φερομένης ἐπὶ τὰ κάλλιστα τῶν ὄντων καὶ θειότατα, περὶ ὧν ἑτέροις εἴρηται βέλτιον.’

**19.** Εἰπόντος δὲ ταῦτα τοῦ πατρός, ὁ Σώκλαρος | ‘ὁρᾷς’ εἶπεν ‘ὅτι δεύτερον ἤδη τοῖς αὐτοῖς περιπεσὼν **764** οὐκ οἶδ’ ὅπως βίᾳ σαυτὸν ἀπάγεις καὶ ἀποστρέφεις, οὐ δικαίως χρεωκοπῶν, εἴ γε δεῖ τὸ φαινόμενον εἰπεῖν, ἱερὸν ὄντα τὸν λόγον; καὶ γὰρ ἄρτι τοῦ Πλάτωνος ἅμα καὶ τῶν Αἰγυπτίων ὥσπερ ἄκων ἁψάμενος παρῆλθες καὶ νῦν ταὐτὰ ποιεῖς. τὰ μὲν οὖν ‘ἀριζήλως εἰρημένα’ (Hom. μ 453) Πλάτωνι, μᾶλλον δὲ ταῖς θεαῖς ταύταις διὰ Πλάτωνος, ὠγαθέ, ‘μηδ’ ἂν κελεύωμεν εἴπῃς·’ ᾗ δ’ ὑπῃνίξω τὸν Αἰγυπτίων μῦθον εἰς ταὐτὰ τοῖς Πλατωνικοῖς συμφέρεσθαι περὶ Ἔρωτος, οὐκ ἔστι σοι μὴ διακαλύψαι μηδὲ διαφῆναι πρὸς ἡμᾶς· ἀγαπήσομεν δέ, κἂν μικρὰ περὶ μεγάλων B ἀκούσωμεν.’ δεομένων δὲ καὶ τῶν ἄλλων ἔφη ὁ πατήρ, ὡς Αἰγύπτιοι δύο μὲν Ἕλλησι παραπλησίως Ἔρωτας, τόν τε πάνδημον καὶ τὸν οὐράνιον, ἴσασι, τρίτον